εἰσαγωγικὴν περὶ πίστεως, ἐλπίδος καὶ ἀγάπης, οὐ μόνον τῇ τάξει, ἀλλὰ καὶ ταῖς διαιρέσεσι καὶ τοῖς νοήμασι πολὺ τὸ παρεμφερὲς ἔχουσαν τῇ Ὀρθοδόξῳ Ὁμολογίᾳ, ἥτις καὶ αὐτὴ ἀναχθεῖσα δι' ἡμῶν εἰς χεῖρας τῆς ἐκλαμπρότητος αὐτοῦ, ὥρισεν ἵνα συντυπωθῇ τῇ Ὀρθοδόξῳ Ὁμολογίᾳ, ὥστε εἶναι τὰς δύο πραγματείας εἰς τόμον ἕνα· ἀναγινώσκεσθαι μέντοι τὴν μὲν ὡς ὀρθόδοξον Ὁμολογίαν τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ ἐκκλησίας, στάθμην καὶ κανόνα τῆς ὀρθοδόξου πίστεως οὖσαν· τὴν δὲ ὡς μερικοῦ ὀρθοδόξου διδασκάλου ἑρμηνείαν τε καὶ ὑποτύπωσιν.

Ἀποδεχόμενοι οὖν τὴν βίβλον μεθ' ἡμῶν, πάντες ὑμεῖς ἀδελφοί, δέον ἐστὶ συμψήφως καὶ συμφώνως ἀναφθέγγεσθαι : σῶσον, κύριε, τὸν φιλόχριστον αὐθέντην Ἰωάννην Κωνσταντῖνον Μπασαράμπαν βοεβόδαν, τὸν πρόμαχον τῆς ὀρθοδόξου πίστεως· εὐλόγησον τὴν ζωὴν αὐτοῦ· κατεύθυνον τὰ διαβήματα τῶν ὑπὲρ σωτηρίας τοῦ ἐκκλησιαστικοῦ πληρώματος βουλῶν αὐτοῦ· πατείτω τὴν ἰσχὺν τῶν ἐχθρῶν αὐτοῦ, καὶ οἱ ἀνθεστηκότες αὐτῷ παράχρημα πιπτέτωσαν, ὅτι ἐποίησε καὶ ποιεῖ ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ κρῖμα καὶ δικαιοσύνην αἰώνιον, καὶ τῇ ἀληθείᾳ λυμαινομένῃ χεῖρα ὀρέγει, καὶ τὸν λαόν σου διασώζει, ὅτι θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις· καὶ σοὶ ἡ αἴδιος δόξα εἰς αἰδίους αἰῶνας. Ἀμήν.

αχϟθ', ἐν μηνὶ ἰανουαρίῳ, ἀπὸ Ἀδριανουπόλεως.

Bibliothèque du Parlement hellénique.

---

## 685

**Faramondo, Drama per musica da rappresentarsi nel teatro Grimani di San. Gio. Grisostomo, l'anno MDCXCIX. Dedicato all' Altezza Serenissima di Ferdinando Terzo, Gran Principe di Toscana. In Venezia, 1699, per il Nicolini.**

In-12 de 1 feuillet pour le frontispice et 72 pages.
Emprunté à : Livio Niso Galvani, *I teatri musicali di Venezia nel*